| LE GOUVERNEMENT DU GRAND-DUCHÉ DE LUXEMBOURG<br>Ministère de l'Éducation nationale, de l'Enfance et de la Jeunesse | **EXAMEN DE FIN D'ÉTUDES SECONDAIRES**<br>**2017** | |
|---|---|---|
| **BRANCHE** | **SECTIONS** | **ÉPREUVE ÉCRITE** |
| **GREC ANCIEN** | **A, B, C, D, E, F, G** | *Durée de l'épreuve*<br>*2 heures* |
| | | *Date de l'épreuve*<br>*30 mai 2017* |
| | | *Numéro du candidat* |

# TEXTE CONNU

Ἀλλὰ γάρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι, ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων, εἴ γε πεινήσουσι καὶ διψήσουσι καὶ ῥιγώσουσι καὶ ἀγρυπνήσουσι καὶ τἆλλα πάντα μοχθήσουσιν ἑκόντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδ΄ ὅ τι διαφέρει τὸ αὐτὸ δέρμα ἑκόντα ἢ ἄκοντα μαστιγοῦσθαι ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι, ἄλλο γε ἢ ἀφροσύνη πρόσεστι τῷ θέλοντι τὰ λυπηρὰ ὑπομένειν. Τί δέ, ὦ Ἀρίστιππε; ὁ Σωκράτης ἔφη, οὐ δοκεῖ σοι τῶν τοιούτων διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ᾗ ὁ μὲν ἑκὼν πεινῶν φάγοι ἂν ὁπότε βούλοιτο καὶ ὁ ἑκὼν διψῶν πίοι καὶ τἆλλα ὡσαύτως, τῷ δ΄ ἐξ ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν ὁπόταν βούληται παύεσθαι; (119 mots)

Xénophon, *Mémorables*, 2, 1, 17-18

# TEXTE INCONNU

## <u>L'enseignement de Protagoras</u>

*Protagoras se trouve par hasard à Athènes. Le jeune Hippocrate veut suivre son enseignement et demande à Socrate de l'introduire auprès de Protagoras. Ce qui pousse Socrate à interroger Protagoras au sujet du contenu de son enseignement. Celui-ci répond:*

Καὶ ὁ Πρωταγόρας […]· „Σύ τε καλῶς ἐρωτᾷς," ἔφη, „ὦ Σώκρατες, καὶ ἐγὼ τοῖς καλῶς ἐρωτῶσι χαίρω ἀποκρινόμενος. Ἱπποκράτης γὰρ παρ' ἐμὲ ἀφικόμενος οὐ <u>πείσεται</u>[1], ἅπερ ἂν ἔπαθεν <u>ἄλλῳ τῳ</u>[2] συγγενόμενος τῶν σοφιστῶν°· οἱ μὲν γὰρ ἄλλοι <u>λωβῶνται</u>[3] τοὺς νέους, […] πάλιν […] <u>λογισμούς</u>[4] τε καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν διδάσκοντες […]· παρὰ δ' ἐμὲ ἀφικόμενος μαθήσεται οὐ <u>περὶ ἄλλου του</u>[5] ἢ περὶ οὗ ἥκει. Τὸ δὲ <u>μάθημά</u>[6] ἐστιν <u>εὐβουλία</u>[7] περὶ τῶν <u>οἰκείων</u>[8], ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν <u>διοικοῖ</u>[9], καὶ περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἄν εἴη καὶ πράττειν καὶ λέγειν." - „Ἆρα", ἔφην δ' ἐγώ, „<u>ἕπομαί σου τῷ λόγῳ</u>[10]; Δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην καὶ <u>ὑπισχνεῖσθαι</u>[11] <u>ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας</u>."

Platon, *Protagoras*, 318d – 319a (114 mots)

1 πείσεται – futur simple actif de πάσχω
2 ἄλλῳ τῳ = ἄλλῳ τινί
3 λωβάομαι – je traite outrageusement, je maltraite
4 ὁ λογισμός = ἡ ἀριθμητική
5 περὶ ἄλλου του = περὶ ἄλλου τινός
6 τὸ μάθημα - l'étude, la science, la connaissance
7 ἡ εὐβουλία – le bon conseil
8 τὰ οἰκεῖα – les affaires domestiques
9 διοικέω – j'administre, je gouverne
10 ἕπομαι σου τῷ λόγῳ - ici: je comprends ta pensée
11 ὑπισχνέομαι – je promets
12 ποιεῖν (αὐτούς) ἄνδρας ἀγαθοὺς πολίτας : accusatif attribut du COD